Ὅσα θ' ὑμῶν κατὰ κήποις ἐπὶ κισ-
Σοῦ κλάδεσι νομὸν ἔχει. τά, τε κατ' ὄρεα,
Τά τε κοτινοτράγα, τά, τε κομαροφά-
γα.
Ἀνύσατε πετόμενα πρὸς ἐμὰν αὐδάν
Τριοτό τριοτό. τριοτό. τοβρίξ.
Ὅσα θ' ἑλείας παρ' αὐλῶνας.
Τὰς ὀξυστόμους ἐμπίδας
Κάπτεθ' ὅσα τ' εὐδρόσους τε
Γῆς τόπους ἔχετε. καὶ λειμῶ-
Να τὸν ἐρόεντα Μαραθῶνος.
Ὄρνις τε πτεροποίκιλος
Ἀτταγᾶς ἀτταγᾶς.

A *Quiq; vestrûm in hortis in he-*
*Deræ ramis pascuum habent, quique in mon-*
*tibus,*
*Quiq; oleiphagi, quiq; comarophagi,*
*Festinate volantes ad meum cantum.*
*Trioto, trioto, trioto, tobrix.*
*Quæcunq; Heleas apud aulonas*
B *Acutioris culices*
*Flectitus, quiq; bene roscidosq;*
*Terræ locos habitatis, & pra-*
*Tum desiderabilem Marathonis,*
*Auisq; variè pennata*
*Attagas, attagas.*

Σχόλια. Τιὸ τιό. ] ἡ δευτέρα στροφὴ κώλων ιγ. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον ἐκ τετραβραχέων. τὸ β. ὅμοιον καθαρόν. τὸ τρί- C τον ὅμοιον ἔχον τὸν τρίτον καὶ τέταρτον πόδα τετράβραχυν. τὸν δὲ τέταρτον τρίβραχυν. τὸ ε΄ ὅμοιον. τὸν α΄ καὶ β. ἔχον πόδα τετράβραχυν. τὸ ἕκτον ὅμοιον, τὸν τρίτον ἔχον πόδα τετράβραχυν. τὰ ἑξῆς ἓξ τροχαϊκὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα τριβράχεσιν. τὸ δὲ ιγ. τὸ ἀτταγᾶς ἀτταγᾶς, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει παιωνικὸν ἐκ κρητικῶν. μιμούμενος δὲ πάλιν τὴν φωνὴν τῶν ὀρνέων καλεῖ αὐτὰ ὁ Ἔποψ. Ἐπὶ κισσοῦ κλάδεσιν. ] ἀντὶ τοῦ τοῖς κλάδοις. ἀπ' εὐθείας δὲ τοῦ κλάδος, ὡς τὸ τέος. Κοτινοτράγα. ] κότινον ἐσθίοντα. τουτέστι ἀγριέ- D λαιον. Κομαροφάγα. ] κόμαρον ἐσθίοντα. Ὅσα θ' ἑλείας ] ἑλώδεις τόπους στενούς. τοὺς ἑλείους στενοὺς τόπους. ἀπὸ τοῦ ὁ ἕλειος. τὰς ὀξυστόμους δέ, τὰς ὀξυαδούσας. Ἐμπίδας. [ζῶόν ἐστιν ἐν ὕδασι γινόμενον ὅμοιον τῷ κώνωπι. μεῖζον δὲ τῇ περιοχῇ κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. Κάπτετε, ] καταβάλλετε, ἐσθίετε. (BISET. κάπτειν δὲ κατὰ τὸν Εὐστάθιον, χανδὸν ἐσθίειν.) ἐρόεντα δὲ ἀντὶ τοῦ ἐπιθυμητικόν. ὡς χαρίεντα. Μαραθῶνος δὲ ὅτι ἐν Μαραθῶνι πολὺ τὸ ὄρνεον. Ἀτταγᾶς. ] ὁ ἀτταγᾶς ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. τὰ γὰρ λιμνώδη καὶ ἑλεῖα χωρία καταβόσκεται ὁ ἀτταγᾶς. ἡ τρίτη στροφὴ κώλων ὀκτὼ δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ. τοῦτο γὰρ δακτυλικὴ βάσις.

## ΕΤΕΡΑ ΣΤΡΟΦΗ ΚΑΙ ΩΔΗ κώλων η΄.

Ὧν τ' ἐπὶ πόντιον οἶδμα θαλάσσης
Φῦλα μετ' ἀλκυόνεσσι ποτᾶται
Δεῦρ' ἴτε, πευσόμενοι τὰ νεώτερα,
Πάντα γὰρ ἐνθάδε φῦλ' ἀθροΐζομεν
Οἰωνῶν ταναοδείρων.
Ἥκει γάρ τις δριμὺς πρέσβυς
Καινὸς γνώμην,
Καινῶν ἔργων τ' ἐγχειρητής.

## ALTERA VERSIO ET CANTVS membrorum octo.

*QVorumq; in pontium tumorem maris*
*Tribus cum alcyonibus volatis,*
E *Huc venite audituri iuniora:*
*Omnes enim hic tribus congregamus,*
*Auium extensarum colla.*
*Venit enim aliquis asper legatus,*
*Nouus sententia,*
*Nouorum operumq; conator.*

Σχόλια. Ὧν τ' ἐπὶ πόντιον ] ἡ τρίτη στροφὴ κώλων ὀκτὼ δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ. τοῦτο γὰρ δακτυλικὴ βάσις. ὧν τε, ὁ τε περιττός. ἔστι δὲ παρὰ τὰ Ἀλ- F κμᾶνος ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτᾶται. διὸ καὶ δωρικῶς εἴρηται. τὸ δ' ἑξῆς, ὧν τε φῦλα ἐπὶ πόντιον οἶδμα θαλάσσης ἅμ' ἀλκυόνεσσι ποτᾶται. ἡ δὲ ἀλκυών, θαλάσσιόν ἐστιν ὄρνεον. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ αὐτῆς φασιν. ὡς ἀπ' ἀνθρώπων ἀπωρνεώθη. ἔστι δὲ ἡ Κήυκος τοῦ Τραχινίων βασιλέως γυνή. οἳ ὄλβῳ μεγίστῳ ἐπαρθέντες, εἰς τοσοῦτον ἦλθον φρυάγματος, ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι. καὶ ὁ μέν, ἐκάλεσεν αὑτὸν, Δία. ἡ δέ, Ἥραν. καί ποτε ἐν θαλάσσῃ, αὐτοῦ πλέοντος ὁ Ζεὺς ὀργισθείς, αὐτόν τε διέφθειρε καὶ τὴν ναῦν. ἡ δὲ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τοῦ ἀνδρὸς θάνατον παρὰ τῷ αἰγιαλῷ, ἣν ἐλεήσας ὁ Ζεὺς ἀπωρνέωσε. καὶ ἐκεῖνον δὲ εἰς ὄρνεον μετέβαλεν, ὃν κηρύλον καλοῦσιν. ἐθρήνει δὲ τῶν ᾠῶν αὐτῆς ἐν τῇ θαλάσσῃ κλωμένων. διὸ κατὰ Διὸς οἶκτον, ιδ΄ ἡμέρας ἀλκυονίτιδας καλουμένας εὐδιεινὰς ἔχει τοῦ ἔτους, ἐν αἷς τίκτουσα ἐκβάλλει τοὺς νεοττούς. Τὰ νεώτερα. ] πράγματα δηλονότι. Ταναοδείρων ] μακροτραχήλων. τὸ μετρικὸν δέ, ἐπὶ πάντων ἔταξαν. οὐ γὰρ πάντα ταναόδειρα τὰ ὄρνεα. Καινὸς γνώμην. ] νέαν γνώμην ἐξηγούμενος.

## ΕΠΩΔΗ κώλων ε΄.

Ἀλλ' ἴτ' ἐς λόγους ἅπαντα.

## INCANTATIO membrorum quinque.

*Sed venite in sermones omnes*